[50]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν ἐπὶ δυσμῶν Μωαβ παρὰ 50
τὸν Ιορδάνην κατὰ Ιεριχω λέγων [51]Λάλησον τοῖς υἱοῖς Ισραηλ καὶ 51
ἐρεῖς πρὸς αὐτούς Ὑμεῖς διαβαίνετε τὸν Ιορδάνην εἰς γῆν Χανααν
[52]καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ πρὸ προσώπου 52
ὑμῶν καὶ ἐξαρεῖτε τὰς σκοπιὰς αὐτῶν καὶ πάντα τὰ εἴδωλα τὰ
χωνευτὰ αὐτῶν ἀπολεῖτε αὐτὰ καὶ πάσας τὰς στήλας αὐτῶν ἐξα-
ρεῖτε [53]καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας τὴν γῆν καὶ κατοι- 53
κήσετε ἐν αὐτῇ· ὑμῖν γὰρ δέδωκα τὴν γῆν αὐτῶν ἐν κλήρῳ. [54]καὶ 54
κατακληρονομήσετε τὴν γῆν αὐτῶν ἐν κλήρῳ κατὰ φυλὰς ὑμῶν·
τοῖς πλείοσιν πληθυνεῖτε τὴν κατάσχεσιν αὐτῶν καὶ τοῖς ἐλάττο-
σιν ἐλαττώσετε τὴν κατάσχεσιν αὐτῶν· εἰς ὃ ἐὰν ἐξέλθῃ τὸ ὄνο-
μα αὐτοῦ ἐκεῖ, αὐτοῦ ἔσται· κατὰ φυλὰς πατριῶν ὑμῶν κληρονο-
μήσετε. [55]ἐὰν δὲ μὴ ἀπολέσητε τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς 55
ἀπὸ προσώπου ὑμῶν, καὶ ἔσται οὓς ἐὰν καταλίπητε ἐξ αὐτῶν,
σκόλοπες ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν καὶ βολίδες ἐν ταῖς πλευραῖς
ὑμῶν καὶ ἐχθρεύσουσιν ἐπὶ τῆς γῆς, ἐφ᾽ ἣν ὑμεῖς κατοικήσετε,
[56]καὶ ἔσται καθότι διεγνώκειν ποιῆσαι αὐτούς, ποιήσω ὑμῖν. 56
[1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Ἔντειλαι τοῖς υἱοῖς 34
Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς Ὑμεῖς εἰσπορεύεσθε εἰς τὴν γῆν
Χανααν· αὕτη ἔσται ὑμῖν εἰς κληρονομίαν, γῆ Χανααν σὺν τοῖς
ὁρίοις αὐτῆς. [3]καὶ ἔσται ὑμῖν τὸ κλίτος τὸ πρὸς λίβα ἀπὸ ἐρήμου 3
Σιν ἕως ἐχόμενον Εδωμ, καὶ ἔσται ὑμῖν τὰ ὅρια πρὸς λίβα ἀπὸ
μέρους τῆς θαλάσσης τῆς ἁλυκῆς ἀπὸ ἀνατολῶν· [4]καὶ κυκλώσει 4
ὑμᾶς τὰ ὅρια ἀπὸ λιβὸς πρὸς ἀνάβασιν Ακραβιν καὶ παρελεύσεται
Σεννα, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ πρὸς λίβα Καδης τοῦ Βαρνη,
καὶ ἐξελεύσεται εἰς ἔπαυλιν Αραδ καὶ παρελεύσεται Ασεμωνα· [5]καὶ 5
κυκλώσει τὰ ὅρια ἀπὸ Ασεμωνα χειμάρρουν Αἰγύπτου, καὶ ἔσται
ἡ διέξοδος ἡ θάλασσα. [6]καὶ τὰ ὅρια τῆς θαλάσσης ἔσται ὑμῖν· 6
ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ, τοῦτο ἔσται ὑμῖν τὰ ὅρια τῆς θαλάσ-
σης. [7]καὶ τοῦτο ἔσται τὰ ὅρια ὑμῖν πρὸς βορρᾶν· ἀπὸ τῆς θαλάσ- 7
σης τῆς μεγάλης καταμετρήσετε ὑμῖν αὐτοῖς παρὰ τὸ ὄρος τὸ ὄρος·
[8]καὶ ἀπὸ τοῦ ὄρους τὸ ὄρος καταμετρήσετε αὐτοῖς εἰσπορευομέ- 8
νων εἰς Εμαθ, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ τὰ ὅρια Σαραδα· [9]καὶ 9
ἐξελεύσεται τὰ ὅρια Δεφρωνα, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ Ασερναιν·

50 παρα] επι A | του ιορδανου A† | λεγων] ante επι tr. B*† || 53 παντας > A || 54 init. — κληρω > B*† | αυτων 1⁰] > A, in *O* sub ÷ | εν κληρω] κληρωτι A: cf. Ios. 21 4—8 | υμων 1⁰] αυτων B† || 55 ους] οσους A | εχθρευσουσιν] + υμιν A || 56 υμας Bᶜ

34 2 κληρον.] pr. την B* || 3 λιβα 1⁰] βορρα A† || 4 σεννα *O*†] ενναк B(†), σεεννακ A | ασελμωνα A || 5 σελμωνα A || 6 η 1⁰ > A | τα ορια ult.] το -ιον A† || 7 τα ορια / υμιν] tr. A | το ορος ult. > A || 8 καταμετρηθησεται A | αιμαθ A | αυτου] -των B*† | σαραδα *O*(†)] -δακ B, σαδαδακ A || 9 δεφρωνα B*†] δ > Bᶜ, ζεφρωνα A | αρσεναειμ B*(†) (Bᶜ add. ρ ante ν)